*Δαναῶν ἀριστῆς, οἵπερ ἤλθετ᾽ ἐνθάδε,*
*Κάδμου τε λαός, μήτε Πολυνείκους χάριν*
*ψυχὰς ἀπεμπολᾶτε μήθ᾽ ἡμῶν ὕπερ.*
*ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς*
*μόνος συνάψω συγγόνῳ τὠμῷ μάχην·*
*κἂν μὲν κτάνω τόνδ᾽, οἶκον οἰκήσω μόνος,*
*ἡσσώμενος δὲ τῷδε παραδώσω μόνος.*
*ὑμεῖς δ᾽ ἀγῶν᾽ ἀφέντες Ἀργεῖοι χθόνα*
*νίσσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.*
*τοσαῦτ᾽ ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος*
*ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.*
*πάντες δ᾽ ἐπερρόθησαν Ἀργεῖοι τάδε*
*Κάδμου τε λαὸς ὡς δίκαι᾽ ἡγούμενοι.*
*ἐπὶ τοῖσδε δ᾽ ἐσπείσαντο, κἀν μεταιχμίοις*
*ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάται.*
*ἤδη δ᾽ ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις*
*δισσοὶ γέροντος Οἰδίπου νεανίαι·*
*φίλοι δ᾽ ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς*
*σπαρτῶν ἀριστεῖς, τὸν δὲ Δαναϊδῶν ἄκροι.*
*ἔσταν δὲ λαμπρὼ χρῶμά τ᾽ οὐκ ἠλλαξάτην*
*μαργῶντ᾽ ἐπ᾽ ἀλλήλοισιν ἱέναι δόρυ.*
*παρεξιόντες δ᾽ ἄλλος ἄλλοθεν φίλων*
*λόγοις ἐθάρσυνόν τε κἀξηύδων τάδε·*
*Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας*
*τρόπαιον Ἄργει τ᾽ εὐκλεᾶ δοῦναι λόγον·*
*Ἐτεοκλέα δ᾽ αὖ· νῦν πόλεως ὑπερμαχεῖς,*
*νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.*
*τάδ᾽ ἠγόρευον παρακαλοῦντες εἰς μάχην.*
*μάντεις δὲ μῆλ᾽ ἔσφαζον, ἐμπύρους τ᾽ ἀκμὰς*
*ῥήξεις τ᾽ ἐνώμων ὑγρότητ᾽ ἐναντίαν*

---

*σπαρτῶν τε λαὸς ἅλις ὃς κεῖται νεκρός.*

---

1226. *Δαναῶν τ᾽* B *C* 1232. *μόνος* A *μόνος πόλιν* B *μόνῳ* EF *πάλιν* b *πόλιν* c *δόμον* *C* 1233. *ἀργείαν* bc (?) 1240. *ἐπὶ τοῖσδε δ᾽* A *ἐπὶ τοῖσι δ᾽* B *ἐπὶ τοῖσδ᾽* EFc *C* *καὶ* ABFc *C* 1241. *στρατηλάτας* ABFbc *στρατηλάται* *C* schol.: *οἱ στρατηγοί. ἔνιοι δὲ γράφουσι στρατηλάταις μετὰ τοῦ ι.* 1249. *λόγοισι θαρσύνοντες ἐξηύδων* Bb 1251. *δ᾽* *C* 1252. *πόλεως θ᾽* *C*